στόμηδες] Wenn der Verf., wie ich allerdings glaube, diesen Namen fingirt hat, so lag hier, wo er einen schlechten Rathgeber bekämpft, die ironische Wahl des Namens Ἀριστομήδης nahe. Die Lesart Ἀριστόδημε bezweckte wohl, eine bekannte, macedonisch gesinnte Persönlichkeit (E. § 61) einzuführen. — ἰδιωτῶν] s. Index. — ἀπράγμονα] s. Index in πρᾶγμα.

§ 71 τοῦτό σοι δοίημεν ἀληθὲς λέγειν] „zugeben wollten, dass Du dies der Wahrheit gemäss (mit Recht) behauptest". — ὡς] „nämlich dass". — μετὰ ῥαθυμίας] gehört wozu? — τινα] τις kann durch den Zusammenhang den Begriff einer (relativen) Grösse annehmen, insofern unter Umständen etwas „viel" sein kann, oder schon dadurch, dass es überhaupt (unter e. grossen Menge) in die Augen fällt, e. gewisse Bedeutsamkeit anzeigt. Vgl. 2. 14 ἐφάνη τι, 21. 213 τὸ δοκεῖν τινες εἶναι, Menander bei Stob. 22, 28 ἐφ' ᾧ φρονεῖς μέγιστον ἀπολεῖ τοῦτό σε, τὸ δοκεῖν τιν' εἶναι, Pl. Apol. 35 a; Prot. 339 d ἐφοβούμην μή τι λέγοι, 348 c, D. 39. 13 ἄν τι δοκῶ λέγειν, 2. 1 u. 3. 7 δύναμίν τινα, wo der Sinn „bedeutend" durch das Wort „Macht" hervorgerufen wird, weil eben e. gar zu unbedeutende Macht keine Macht ist, 5. 21 πέπρακταί τι, 9. 23 ἴσχυσάν τι.

§ 72 καὶ μὴν u. s. w.] „Und fürwahr, das begreife ich nicht, wie für Athen eine Sicherheit darin liegen soll, dass es nur seine Interessen verfolgt" (so nämlich verlangte es Aristomedes als Anhänger der Friedenspolitik), „für Dich aber eine Gefahr, wenn Du bloss Deine Interessen verfolgst". Diesen Gedanken aber drückt der Redner negativ aus: „wenn Du (ganz und gar) nicht mehr als die Uebrigen unnütz geschäftig bist". — τοὐναντίον] zu 12. 12. „vielmehr sehe ich im Gegentheil für Dich .. die schwersten Gefahren erwachsen, für Athen aber aus der Ruhe". Ruhe nennt er die Beschränkung Athens auf seine nächsten Interessen und die daraus folgende Aufgabe der allgemeinen griechischen Politik. Uebrigens ist der vorliegende Chiasmos ein zierliches

73 ἐσχάτους ὄντας κινδύνους, τῇ πόλει δὲ ἐκ τῆς ἡσυχίας. ἀλλὰ
νὴ Δία παππῷα σοι καὶ πατρῷα δόξα ὑπάρχει, ἣν αἰσ-
χρόν ἐστιν ἐν σοὶ καταλῦσαι· τῇ πόλει δ' ὑπῆρξεν
ἀνώνυμα καὶ φαῦλα τὰ τῶν προγόνων. ἀλλ' οὐδὲ τοῦθ'
οὕτως ἔχει. σοὶ μὲν γὰρ ἦν κλέπτης ὁ πατὴρ, εἴπερ ἦν 151
ὅμοιος σοὶ, τῇ πόλει δ' ἡμῶν, ὡς πάντες ἴσασιν, οἱ Ἕλληνες
74 [δὶς] ἐκ τῶν μεγίστων κινδύνων σεσωσμένοι. [ἀλλὰ γὰρ] οὐκ
ἴσως οὐδὲ πολιτικῶς ἔνιοι τὰ καθ' αὑτοὺς καὶ τὰ κατ' αὐτὴν
πολιτεύονται· πῶς γάρ ἐστιν ἴσον τούτων μέν τινας ἐκ τοῦ
δεσμωτηρίου ἥκοντας ἑαυτοὺς ἀγνοεῖν, τὴν πόλιν δ', ἣ
προειστήκει τῶν ἄλλων τέως καὶ τὸ πρωτεῖον εἶχε, νῦν ἐν
ἀδοξίᾳ πάσῃ καὶ ταπεινότητι καθεστάναι;
75 Πολλὰ τοίνυν ἔχων ἔτι καὶ περὶ πολλῶν εἰπεῖν παύ-

Stilprodukt; aber die sechsmalige Wiederholung von *τῇ πόλει δὲ* oder *τὴν πόλιν δὲ* (Index in *δὲ*) hat etwas Gesuchtes.

§ 73 *ἀλλὰ νὴ Δία .. προγόνων*] Die gewöhnliche Formel, mit welcher der Redner einen erwarteten Einwurf (*ὑποφορά*) einführt. Die Bemerkung des Scholiasten zu 731. 19 *τῷ γὰρ νὴ Δία πανταχοῦ ὁ ῥήτωρ ἐπὶ διασυρμῷ χρῆται* ist wesentlich zu beschränken, s. Index unter „Schwurformeln". Deren aber hat und braucht der lebhafte und leidenschaftliche Grieche viel mehr als der Deutsche. — *ἣν . καταλῦσαι*] quam in te desinere turpe fuerit. — *σοὶ .. εἴπερ ἦν ὅμοιος σοί*] Vgl. zu 2. 7. Hermogenes 3. 171 vergleicht D. 20. 73 *λέγεται τοίνυν ... ἐξαπατῆσαι λέγεται* und nennt die Figur „*κύκλος*", *σχῆμα . κάλλος ἐμπεριέχον λόγον.* An uns. St. aber hebt die Figur nur noch deutlicher die alberne petitio principii des Inhalts hervor, und beweist zunächst (vorausgesetzt, dass die Rede wirkliche Verhältnisse behandelt), dass der Redner von Arist. Vater nichts Nachtheiliges weiss; wenn er demungeachtet diesen Punkt nicht lieber ganz fallen liess, so verräth er Mangel an rednerischem Takt, wie andererseits Mangel an Logik und Geschmack durch den albernen Gegensatz: Dein Vater war ein Dieb — Athen hat Griechenland gerettet. Vielleicht aber vermuthet Schaefer mit Recht *τῇ πόλει δ'* (sc. *πατέρες ἦσαν*) *οὓς πάντες ἴσασι*; obgleich einerseits *τῇ πόλει* von *σεσωσμένοι* abhängig zu machen die Grammatik bekanntlich nicht hindern würde (s. Kr. Gr. 48. 15. 3, D. 2. 3. 3. 26, 5. 18 u. 20 u. ö.), andererseits *εἰσὶ* im Nothfall sich ergänzen liesse. — *δὶς*] *τὴν πατρίδα τὴν αὑτοῦ τὴν τρὶς τοὺς Ἕλληνας ἐλευθερώσασαν, δὶς μὲν ἀπὸ τῶν βαρβάρων, ἅπαξ δ' ἀπὸ τῆς Λακεδαιμονίων ἀρχῆς.* Isocr. 5. 129.

§ 74 *οὐκ ἴσως*] „nicht gleichmässig"; denn u. V. scheint abermals D. 8. 67 *οὐ τὸν αὐτὸν τρόπον περὶ* u. s. w. wiederzugeben. In welchem Verhältniss stehen zueinander die Begriffe „gleichmässig" und „billig", wie gleich darauf *ἴσον* heisst? vgl. aequum. — *πολιτικῶς*] „wie es Staatsbürgern ziemt", „loyal", s. Index.

§ 75 *πολλὰ τοίνυν*] Uebergang,

σομαι· καὶ γὰρ οὐ λόγων ἐνδείᾳ μοι δοκεῖ τὰ πράγματα οὔτε νῦν οὔτ' ἄλλοτε πώποτε φαύλως ἔχειν, ἀλλ' ὅταν πάντ' ἀκούσαντες ὑμεῖς τὰ δέοντα, καὶ ὁμογνώμονες ὡς ὀρθῶς λέγεται γενόμενοι, τῶν λυμαίνεσθαι καὶ διαστρέφειν ταῦτα βουλομένων ἐξ ἴσου κάθησθε ἀκροώμενοι, οὐκ ἀγνοοῦντες αὐτούς (ἴστε γὰρ εὐθὺς ἰδόντες ἀκριβῶς τίς μισθοῦ λέγει καὶ τίς ὑπὲρ Φιλίππου πολιτεύεται, καὶ τίς ὡς ἀληθῶς ὑπὲρ τῶν βελτίστων), ἀλλ' ἵν' αἰτιασάμενοι τούτους καὶ τὸ πρᾶγμα εἰς γέλωτα καὶ λοιδορίαν ἐμβαλόντες μηδὲν αὐτοὶ τῶν
76 *δεόντων ποιῆτε. ταῦτ' ἐστὶν ἀληθῆ μετὰ πάσης παρρησίας, ἁπλῶς εὐνοίᾳ, τὰ βέλτιστα εἰρημένα, οὐ κολακείᾳ βλάβης καὶ ἀπάτης λόγος μεστὸς, ἀργύριον μὲν τῷ λέγοντι ποιήσων, τὰ δὲ πράγματα τῆς πόλεως τοῖς ἐχθροῖς ἐγχειριῶν. ἢ οὖν παυστέον τούτων τῶν ἐθῶν, ἢ μηδένα ἄλλον αἰτιατέον τοῦ πάντα φαύλως ἔχειν ἢ ὑμᾶς αὐτούς.*

wie 8. 52. — *διαστρέφειν*] Σ u. a. Hdn. D. 24. 210 *τοὺς λυμαινομένους καὶ διαστρέφοντας αὐτοὺς* (*τ. νόμους*). Der Variante *διαφθείρειν* liegt ein ähnliches Schreibversehen zu Grunde, wie 8. 67 bei *στέρεσθαι* und *φέρεσθαι*; doch 24. 92 *λυμαίνεται ταῦτα καὶ διαφθείρει*. — *εὐθὺς ἰδόντες*] „gleich bei ihrem Anblick". Kr. Gr. 56. 10. 3.

§ 76 *ἀληθῆ, μετὰ π. π.* u. s. w.] Mit dieser Selbstgefälligkeit spricht ein Schulredner, aber niemals Dem. von seinen Reden; vgl. 8. 73, wo die Worte *ὡς ἄρα ἐγὼ λέγω μὲν ἀεὶ τὰ βέλτιστα*, welche D. wohlweislich e. Anderen in den Mund legt (vgl. zu 8. 70) wahrscheinlich unsere Umschreibung veranlasst haben. Ausführlicher noch, aber wie ganz anders als u. V., spricht D. am Schlusse der vierten Rede. — *τὰ βέλτιστα*] „als das Beste". — *οὐ . λόγος*] „nicht aber eine Rede". — *ἢ οὖν* u. s. w.] Der Schluss selber wäre kräftig, wenn nicht durch die dazwischen tretende breite Selbstbespiegelung des Verf. die Beziehung von *τούτων τῶν ἐθῶν* auf den Schluss von § 75 *ἵν' αἰτιασάμενοι . . ποιῆτε*, gestört würde.

XI.

ΠΡΟΣ ΤΗΝ ΕΠΙΣΤΟΛΗΝ ΤΗΝ ΦΙΛΙΠΠΟΥ. 152

ΥΠΟΘΕΣΙΣ.

Ὁ Φίλιππος πρὸς τοὺς Ἀθηναίους πέπομφεν ἐπιστολήν, κατηγορῶν αὐτῶν καὶ πόλεμον προκηρύττων ἄντικρυς. οὐκέτι οὖν ὁ ῥήτωρ πείθει τοὺς Ἀθηναίους πολεμεῖν (ἀνάγκη γάρ), ἀλλὰ θαρσύνει πρὸς τὸν κίνδυνον, εὐκαθαίρετον λέγων τὸν Μακεδόνα.

Ὅτι μέν, ὦ ἄνδρες Ἀθηναῖοι, Φίλιππος οὐκ ἐποιήσατο τὴν εἰρήνην πρὸς ὑμᾶς, ἀλλ' ἀνεβάλετο τὸν πόλεμον, πᾶσιν ὑμῖν φανερὸν γέγονεν· ἐπειδὴ γὰρ Φαρσαλίοις Ἅλον παρέδωκεν καὶ τὰ περὶ Φωκέας διῳκήσατο καὶ τὴν Θρᾴκην κατεστρέψατο πᾶσαν, αἰτίας οὐκ οὔσας πλασάμενος καὶ προφάσεις ἀδίκους ἐξευρών, τῷ μὲν ἔργῳ πάλαι πολεμεῖ πρὸς τὴν πόλιν, τῷ δὲ λόγῳ νῦν ὁμολογεῖ διὰ τῆς ἐπιστολῆς
2 ἧς ἔπεμψεν. ὅτι δὲ χρὴ μήτε ὀρρωδεῖν ἡμᾶς τὴν ἐκείνου δύναμιν μήτε ἀγεννῶς ἀντιταχθῆναι πρὸς αὐτόν, ἀλλὰ καὶ σώμασι καὶ χρήμασι καὶ ναυσὶ καὶ πᾶσιν ὡς ἁπλῶς εἰπεῖν

Ὑπόθεσις.

ὁ ῥήτωρ] Demosthenes; denn Libanios hat diese wie die vorige Rede für echt gehalten. Aber von ihr gilt dasselbe, was zu Libanios ὑπόθ. der 10. Rede bemerkt ist. Unsere Rede kann auch von keinem Zeitgenossen des D. abgefasst sein (vgl. zu § 18), weil sie von der thatsächlich falschen Voraussetzung ausgeht, dass Philipp zuerst den Krieg an Athen erklärt habe (s. § 1 u. 20). Der Verfasser fingirt diesen Umstand, um eine allerdings treffliche Gelegenheit zu seinem Machwerk zu gewinnen, obschon er nicht einmal diesen Kernpunkt seiner Arbeit festzuhalten versteht (s. zu § 17 u. 20). Die Sammler demosthenischer Werke haben dann unsere Rede mit dem Ultimatum Philipp's (die 12. Rede), in welchem sie eine Kriegserklärung Philipp's sahen, fälschlich in Beziehung gesetzt und Demosthenes Werken an dieser Stelle einverleibt. Vgl. E. § 91.

---

§ 1 ἐπειδή] „seit". — Φαρσαλίοις] E. § 64. — τὰ περὶ Φωκέας] Die griechische Umschreibung mit dem Neutrum des Artikels giebt unsere nach logisch schärferer Bezeichnung strebende Sprache durch abstrakte Substantive wieder; Beispiele s. Index in Artikel.

§ 2 ἀγεννῶς] s. Index. — καὶ σώμασι καὶ χρήμασι] zu 10. 28. — πᾶσιν ὡς ἁπλῶς εἰπεῖν] zu § 16.

ἀφειδῶς ὁρμῆσαι πρὸς τὸν πόλεμον, ἐγὼ πειράσομαι διδά- 153
σκειν. πρῶτον μὲν γὰρ εἰκὸς, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς θεοὺς
μεγίστους ὑμῖν ὑπάρχειν συμμάχους καὶ βοηθοὺς, ὧν ἐκεῖ-
νος τὰς πίστεις ὑπεριδὼν καὶ τοὺς ὅρκους ὑπερβὰς λέλυκεν
3 ἀδίκως τὴν εἰρήνην· ἔπειθ' οἷς πρότερον ηὐξήθη, φενακί-
ζων ἀεί τινας καὶ μεγάλα ἐπαγγελλόμενος εὐεργετήσειν,
ταῦτα πάντα διεξελήλυθεν ἤδη, καὶ γιγνώσκεται μὲν ὑπὸ
τῶν Περινθίων καὶ Βυζαντίων καὶ τῶν ἐκείνοις συμμαχούν-
των ὡς ἐπιθυμεῖ προςενεχθῆναι τούτοις τὸν αὐτὸν τρόπον
4 ὅνπερ Ὀλυνθίοις πρότερον, οὐκ ἀγνοεῖται δὲ ὑπὸ Θετταλῶν
δεσπόζειν ἀλλ' οὐχ ἡγεῖσθαι τῶν συμμάχων προαιρούμενος,
ὑποπτεύεται δὲ ὑπὸ Θηβαίων Νίκαιαν μὲν φρουρᾷ κατέχων,
εἰς δὲ τὴν Ἀμφικτυονίαν εἰςδεδυκὼς, τὰς δὲ πρεσβείας τὰς
ἐκ Πελοποννήσου πρὸς αὐτὸν ἄγων καὶ τὴν ἐκείνων συμ-
μαχίαν παραιρούμενος· ὥςτε τῶν αὐτῷ πρὸ τοῦ φίλων

— *ἀφειδῶς*] s. Index. — *πρῶτον u. s. w.*] Erinnert sehr an Xen. An. 3. 2. 10 *πρῶτον μὲν γὰρ ἡμεῖς ἐμπεδοῦμεν τοὺς τῶν θεῶν ὅρκους, οἱ δὲ πολέμιοι ἐπιωρκήκασί τε καὶ τὰς σπονδὰς καὶ τοὺς ὅρκους λελύκασιν. Οὕτω δ' ἐχόντων εἰκὸς τοῖς μὲν πολεμίοις ἐναντίους εἶναι τοὺς θεούς, ἡμῖν δὲ συμμάχους.* Dem. hat ebenfalls diesen Gedanken (2. 1 u. 10 u. 22), aber nicht in dem rubig-entwickelnden Tone, wie unser Verf. und Xenophon, ausgeführt, sondern nach seiner Weise als Moment scharf hingeworfen, das zu eigener Thatkraft treiben soll. — *ὧν . τὰς πίστεις . καὶ τοὺς ὅρκους*] Die unter Anrufung der Götter gegebenen Versicherungen u. Schwüre.

§ 3 *ἔπειθ'*] ohne *δὲ*, zu 12. 22. — *οἷς πρ. ηὐξήθη . . διεξελήλυθεν ἤδη*] nach D. 2. 5. — *μεγάλα εὐεργετήσειν*] 7. 33 u. 34; vgl. zu 10. 57, Plato Apol. 36 c *εὐεργετεῖν τὴν μεγίστην εὐεργεσίαν.* — *γιγνώσκεται . . οὐκ ἀγνοεῖται . . ὑποπτεύεται*] *συνωνυμία δέ ἐστιν, ὅταν τῷ χαρακτῆρι διαφόροις ὀνόμασι, τῇ δυνάμει δὲ τὸ αὐτὸ δηλοῦσι χρώμεθα πλείοσιν, ἓν μὲν καὶ τὸ αὐτὸ βουλόμενοι δηλοῦν* Alexander *π. σχημ.* 8. 465 W. Tiberius *π. σχ.* 8. 564 nennt dieses selbe Beispiel e. *πλεονασμός*; es ist aber vielmehr e. variatio des Begriffes „wird erkannt", wie sie Demosthenes niemals bei e. an die Spitze gestellten Hauptbegriff anwendet; natürlich, um nicht diesen durch ein ableitendes Interesse zu schwächen; vgl. z. B. D. 8. 65, 9. 66 (7. 37). Unser Vf. variirt auch in der Construktion: *γιγν. . . ὡς, ἀγν. . δεσπόζειν* (Kr. Gr. 55. 4. 2), *ὑποπτ. . κατέχων*. Uebrigens kommt das ursprünglich wohl dichterische Wort *δεσπόζειν* bei D. nicht vor. — *Περινθίων καὶ Βυζ.*] E. § 77 z. E.

§ 4 *Νίκαιαν*] E. § 76. — *κατέχων*] „weil er besetzt hält". — *πρὸ τοῦ*] „vordem". D. 1. 27, Thuc. 3. 9. 1 *τῶν πρὸ τοῦ φίλων*, 4. 72. 3 *ἐν γὰρ τῷ πρὸ τοῦ*, D. 19. 314 *πρὸ μὲν τοῦ*, Herod. 3. 99 *πρὸ γὰρ τοῦ*.

ὄντων τοὺς μὲν νῦν πολεμεῖν ἀκαταλλάκτως, τοὺς δὲ μηκέτι
προθύμους εἶναι συναγωνιστάς, ἅπαντας δ' ὑφορᾶσθαι καὶ
5 διαβεβλῆσθαι πρὸς αὐτόν. ἔτι τοίνυν (οὐδὲ γὰρ τοῦτ' ἔστι
μικρόν) οἱ κατὰ τὴν Ἀσίαν σατράπαι καθεστῶτες ἔναγχος
μὲν ξένους μισθοφόρους εἰςπέμψαντες ἐκώλυσαν ἐκπολιορ-
κηθῆναι Πέρινθον, νῦν δὲ τῆς ἔχθρας αὐτοῖς ἐνεστώσης καὶ
τοῦ κινδύνου πλησίον ὄντος, εἰ χειρωθήσεται Βυζάντιον,
6 οὐ μόνον αὐτοὶ προθύμως συμπολεμήσουσιν, ἀλλὰ καὶ
βασιλέα [τῶν] Περσῶν χρήμασι χορηγεῖν ἡμῖν προτρέψονται,
ὃς τοσοῦτον μὲν κέκτηται πλοῦτον ὅσον οὐδ' οἱ λοιποὶ πάντες,
τηλικαύτην δ' ἔχει ῥώμην πρὸς τὰς ἐνθάδε πράξεις ὥςτε καὶ
πρότερον, ἡνίκα Λακεδαιμονίοις ἐπολεμοῦμεν, ὁποτέροις 15
πρόςθοιτο, τούτους ἐποίει κρατεῖν τῶν ἑτέρων, καὶ νῦν
μεθ' ἡμῶν γενόμενος ῥᾳδίως καταπολεμήσει τὴν Φιλίππου
δύναμιν.
7 Πρὸς τοίνυν τούτοις τηλικούτοις οὖσιν, οὐκ ἐρῶ μὲν
ὡς οὐ διὰ τὴν εἰρήνην πολλὰ προείληφεν ἡμῶν χωρία καὶ
λιμένας καὶ τοιαῦθ' ἕτερα χρήσιμα πρὸς πόλεμον, ὁρῶ δὲ ὡς
ὅταν μὲν ὑπ' εὐνοίας τὰ πράγματα συνέχηται καὶ πᾶσι ταὐτὰ
συμφέρῃ τοῖς μετέχουσι τῶν πολέμων, μένει τὰ συσταθέντα
βεβαίως· ὅταν δ' ἐξ ἐπιβουλῆς καὶ πλεονεξίας ἀπάτῃ καὶ
βίᾳ κατέχηται, καθάπερ ὑπὸ τούτου νῦν, μικρὰ πρόφασις καὶ
8 τὸ τυχὸν πταῖσμα ταχέως αὐτὰ διέσεισε καὶ κατέλυσεν. καὶ
πολλάκις εὑρίσκω λογιζόμενος οὐ μόνον, ὦ ἄνδρες Ἀθηναῖοι,
τὰ συμμαχικὰ τῷ Φιλίππῳ πρὸς ὑποψίαν ἥκοντα καὶ

§ 5 *οἱ . . σατράπαι*] E. § 81.

§ 6 *χορηγεῖν*] s. Index. Der Dativ *χρήμασι* steht nach Analogie von *χορηγεῖν παισί* D. 21. 64, *παιδικῷ χορῷ* Isaeus 7. 40, der andere *ὑμῖν* ist der sogenannte Dat. commodi, Kr. Gr. 48. 4. — *τούτους ἐποίει κρατεῖν*] zu 1. 22.

§ 7 Der ganze § ist D. 2. 9 nachgebildet. — *οὐκ ἐρῶ μὲν . . ὁρῶ δὲ*] e. absichtliche Paronomasie, s. zu 12. 17. — *τὸ τυχὸν πταῖσμα*] „der erste beste (sich gerade ereignende) Unfall", D. 2. 9 *μικρὸν πταῖσμα*. — *διέσεισεν καὶ κατέλυσεν*] War unserem Verf. die Trope bei D. *ἀνεχαίτισε καὶ διέλυσεν* (zu 10. 9) zu kühn?

§ 8 *καὶ πολλάκις . . οἴεταί τις*] frei nach D. (1. 21 und) 2. 13. — *πολλάκις*] steht auffallend. D. 2. 6 hat es nicht. — *τῷ Φ. εἰς ὑποψίαν ἥκοντα*] d. i. *ὑπόπτως ἔχοντα τῷ Φ.*, Eur. Phoen. 482 *δι' ἔχθρας τῷδε καὶ φόνου μολών*, Xen. An. 3. 2. 8 *διὰ φιλίας* (und *διὰ πολέμου*) *αὐτοῖς ἰέναι*. Noch unmittelbarer hängt der Dativ von Substan-

δυςμένειαν, ἀλλὰ καὶ τὰ τῆς ἰδίας ἀρχῆς οὐ συνηρμοσμένα καλῶς οὐδ' οἰκείως οὐδ' ὡς οἴεταί τις. ὅλως μὲν γὰρ ἡ Μακεδονικὴ δύναμις ἐν μὲν προςθήκης μέρει ῥοπὴν ἔχει τινὰ καὶ χρῆσιν, αὐτὴ δὲ καθ' αὑτὴν ἀσθενής ἐστι καὶ πρὸς
9 τηλικοῦτον ὄγκον πραγμάτων εὐκαταφρόνητος· ἔτι δ' αὐτὴν οὗτος τοῖς πολέμοις καὶ ταῖς στρατείαις καὶ πᾶσιν οἷς ἄν τις αὐτὸν μέγαν εἶναι νομίσειε, σφαλερωτέραν αὑτῷ πεποίηκεν. μὴ γὰρ οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς αὐτοῖς χαίρειν Φίλιππόν τε καὶ τοὺς ἀρχομένους, ἀλλ' ἐννοεῖσθε ὡς ὁ μὲν ἐπιθυμεῖ δόξης, οἱ δὲ ἀσφαλείας, καὶ αὐτῷ μὲν οὐκ ἔστι τυχεῖν ταύτης ἀκινδύνως, οἱ δ' οὐδὲν δέονται καταλείποντες οἴκοι τέκνα, γονεῖς, γυναῖκας, φθείρεσθαι καὶ καθ' ἑκάστην

2. 20 in anderem Zusammenhang gesagten Worte *ἀλλ' οἶμαι, νῦν* tiven ab D. 3. 20 *δι' ἀπορίαν ἐφοδίων τοῖς στρατευομένοις*, 27. 20 *οὐκ εἰς σιτία τοῖς ἀνθρώποις*, 1. 22 *τὰ τῆς τροφῆς τοῖς ξένοις*, Thuc. 1. 5. 1 *κέρδους τοῦ σφετέρου αὐτῶν ἕνεκα καὶ τοῖς ἀσθενέσι τροφῆς*, D. 53. 29 *γῆρας καὶ ἀπορίας καὶ τροφὰς μητρὶ λέγοντες*, 21. 18 *τοὺς κριτὰς τῷ ἀγῶνι*, vgl. D. 4. 28, 14. 13, Thuc. 1. 6. 2, 1. 121. 1, 5. 35. 1, 7. 5. 3, Voemel zu D. 8. 70, Stallb. zu Plato Euthyph. p. 13 d u. 15 a, Phileb. p. 16 c, Ap. p. 30 a u. d, Bernhardy Syntax p. 68, Kr. Gr. 48. 12. 1 u. 4. — *ὅλως μὲν . . ἡ Μακεδ.* u. s. w. bis § 16 ist nach D. 2. 14 bis 22 gearbeitet, aber nicht in so sklavischer Manier wie der Verf. der 10. Rede sein Vorbild ausschreibt. Zunächst sind die Ausdrücke *ῥοπὴν* (zu § 15), *χρῆσιν* und *πρὸς τηλικ. ὄγκον πρ. εὐκαταφρόνητος* viel gesuchter als die einfachen Worte bei Demosthenes.

§ 9 *αὐτὸν μέγαν εἶναι νομίσειε*] Dagegen fehlt *εἶναι* nach *νομίζειν*: D. 2. 1, 14. 29, 15. 20 u. 33, 16. 3, Plato Apol. p. 18 c *ἡγοῦνται τοὺς ταῦτα ζητοῦντας οὐδὲ θεοὺς νομίζειν*, Xen. Cyr. 8. 1. 47 *καὶ ἄδικον ἡγούμενος καὶ κατάλυσιν τῆς ἀρχῆς τοῦτο νομίζων*; nach *ἡγεῖσθαι*: D. 2. 6 u. 15, 4. 10, 5. 23, 7. 30, 8. 66 u. 68, 14. 1, 15. 20 u. 28 u. 33, 16. 18 u. 29, 17. 10; nach *ὑπολαμβάνειν*: 8. 43, 10. 31, 16. 22, 18. 10; nach *οἴεσθαι*: 3. 19, 18. 229; *κρίνειν* Thuc. 2. 44. 3, *ὁρίζεσθαι* Plato Gorg. 491 b, *ψηφίζεσθαι* D. 23. 200, *ἀναγράφειν* D. 9. 43, 23. 181 u. ö., *φάναι* 9. 61; vgl. Kr. Gr. 55. 4. 4. Aehnlich fehlt das Particip nach *εἰδέναι* D. 4. 18, 14. 24, 18. 10, *ὁρᾶν* 3. 8, 18. 277, *ἀκούειν* 19. 87, *πυνθάνεσθαι* 4. 41; *αἰσθάνεσθαι* 35. 42 (zu 10. 12), Kr. Gr. 56. 7. 4. — *ἐννοεῖσθε ὡς*] ist ein mattes Einschiebsel unseres Verfassers, welcher dagegen die mächtige Ausführung bei D. 2. 15 *καὶ τοῦτο ἐζήλωκε καὶ προῄρ.* u. s. w. fallen lässt. — *τύχ. ταύτης*] näml. *τῆς δόξης* „jenen R.“ — *οὐδὲν δέονται . φθείρεσθαι*] „fühlen gar kein Bedürfniss, sich ruiniren zu lassen. Vgl. Isocr. 7. 25. — *καταλείπ. οἴκοι τέκνα* u. s. w.] Das Asyndeton ist gewöhnlich bei diesem Gemeinplatz; welcher übrigens bei Dem. nirgends vorkommt; natürlich nicht deshalb, weil D. die Gewalt dieses Momentes verkannt hätte (s. z. B. 18. 215), aber sie kann sich mit Wahrheit und Energie nur da entwickeln, wo die Hörer unmittelbar, wie bei Schlach-

10 ἡμέραν κινδυνεύειν ὑπὲρ αὐτῶν. ὥστε τοὺς μὲν πολλοὺς 155
τῶν Μακεδόνων ἐκ τούτων ἄν τις ἴδοι πῶς διάκεινται πρὸς
τὸν Φίλιππον· τοὺς δὲ περὶ αὐτὸν ὄντας ἑταίρους καὶ τοὺς
τῶν ξένων ἡγεμόνας εὑρήσετε δόξαν μὲν ἔχοντας ἐπ' ἀνδρείᾳ,
περιδεῶς δὲ μᾶλλον τῶν ἀδόξων ζῶντας. τοῖς μὲν γὰρ πρὸς
τοὺς πολεμίους μόνον ὑπάρχει κίνδυνος, οἱ δὲ τοὺς κόλακας
καὶ τοὺς διαβάλλοντας αὐτοὺς μᾶλλον ἢ τὰς μάχας δεδίασιν·
11 κἀκεῖνοι μὲν μετὰ πάντων ἀγωνίζονται πρὸς τοὺς ἀντιταχ-
θέντας, τοῖς δὲ καὶ τῶν ἐν τοῖς πολέμοις κακῶν οὐκ ἐλάχι-
στον μέρος μέτεστιν καὶ χωρὶς ἰδίᾳ τὸν τρόπον τὸν τοῦ βα-
σιλέως φοβεῖσθαι συμβέβηκεν. ἔτι δὲ τῶν μὲν πολλῶν ἐὰν
ἁμάρτῃ τις, ζημίαν κατὰ τὴν ἀξίαν εἴληφεν· οἱ δ' ὅταν μά-
λιστα κατορθώσωσιν, τότε μάλιστα σκορακίζονται [καὶ προ-
12 πηλακίζονται] παρὰ τὸ προσῆκον· καὶ τούτοις οὐδ' ἂν εἷς εὖ
φρονῶν ἀπιστήσειεν· οὕτω γὰρ φιλότιμον αὐτὸν εἶναί φασιν
οἱ συνδιατρίψαντες, ὥστε βουλόμενον τὰ κάλλιστα τῶν ἔργων
πάνθ' αὐτοῦ δοκεῖν εἶναι μᾶλλον ἄχθεσθαι τῶν στρατηγῶν καὶ
13 τῶν ἡγεμόνων τοῖς ἄξιον ἐπαίνου τι πράξασιν ἢ τοῖς ὅλως ἀπο-
τυχοῦσιν. πῶς οὖν, εἴπερ ἐστὶ ταῦτα τοιαῦτα, πιστῶς ἤδη πολὺν
χρόνον αὐτῷ παραμένουσιν; ὅτι νῦν μέν, ὦ ἄνδρες Ἀθηναῖοι,

ten und Belagerungen dem Feinde gegenübertreten; sonst wird es leicht Phrase, an uns. St. mit e. Anfluge von Sentimentalität. Vielleicht, dass dem Verf. der Gedanke bei D. 2. 16 *οὔτ' ἐπὶ τοῖς ἔργοις* u. s. w. zu real und auch sprachlich schwierig erschien.

§ 10 *ἑταίρους καὶ τοὺς τῶν ξένων ἡγεμόνας*] Unrichtige Umschreibung des demosth. *ξένοι καὶ πεζέταιροι* 2. 17. Auch hier (vgl. § 7) lässt der V. die bezeichnende Trope *συγκεκροτημένοι* weg, führt dagegen den demosth. Gedanken 2. 18 *τούτους μὲν φιλοτιμίᾳ πάντας ἀπωθεῖν αὐτόν* breit aus.

§ 11 *χωρίς*] s. Index. — *κατὰ τὴν ἀξίαν*] s. Index in *ἀξία*; vgl. *τὴν ταχίστην* D. 1. 2, 8. 2; *τὴν πρώτην* 3. 2, 4. 23; *τὴν ὀρθήν* 18. 111, *ἀπὸ πρώτης* Thuc. 1. 77. 2, Kr. Gr. 43. 3. 3. — *κατορθώσωσι*] Gegens. zu *ἁμάρτῃ*, wie Xen. *ἀπομν.* 3. 1. 3 *μεγάλα τά τε ἀγαθὰ κατορθοῦντος αὐτοῦ, καὶ τὰ κακὰ διαμαρτάνοντος εἰκὸς γίγνεσθαι.* — *σκορακίζονται*] drückt der Komiker Alexis aus durch *εἰς κόρακας ἔρρειν φημί*; jenes Verb scheint bei den Klassikern nicht vorzukommen.

§ 12 *τούτοις*] näml. dem Gesagten. Das Folgende ist Ausführung des demosth. *βουλόμενον . . ἀνυπέρβλητον εἶναι* 2. 18.

§ 13 *πῶς οὖν . . παραμένουσιν;*] ist ein dem Zusammenhang nach begründeter und nach der ausführlichen Behandlung des vorangehenden Gedankens, wovor sich D. klüglich hütete, kaum zu umgehender Einwurf (vgl. zu § 17). Unverständig wird vollends seine Widerlegung dadurch, dass uns. Vf. die bei D.

τὸ κατορθοῦν αὐτὸν ἐπισκοτεῖ πᾶσι τοῖς τοιούτοις· αἱ γὰρ εὐπραξίαι δειναὶ συγκρύψαι καὶ συσκιάσαι τὰς ἁμαρτίας τῶν ἀνθρώπων εἰσίν· εἰ δέ τι πταίσει, τότ᾽ ἀκριβῶς διακαλυφ-
14 θήσεται ταῦτα πάντα. συμβαίνει γάρ, ὥςπερ ἐν τοῖς σώμασιν ἡμῶν· ὅταν μὲν ἐρρωμένος ᾖ τις, οὐδὲν ἐπαισθάνεται τῶν καθ᾽ ἕκαστα σαθρῶν, ἐπὰν δ᾽ ἀρρωστήσῃ, πάντα κινεῖται, κἂν ῥῆγμα κἂν στρέμμα κἂν ἄλλο τι τῶν 156
ὑπαρχόντων ᾖ μὴ τελέως ὑγιεινόν· οὕτω καὶ τῶν βασιλειῶν καὶ ἁπασῶν τῶν δυναστειῶν, ἕως μὲν ἂν ἐν τοῖς πολέμοις καταρθῶσιν, ἀφανῆ τὰ κακά ἐστι τοῖς πολλοῖς· ἐπὰν δὲ πταίσωσιν, ὃ νῦν παθεῖν εἰκὸς ἐκεῖνον μεῖζον φορτίον ἢ καθ᾽ αὑτὸν αἱρόμενον, γίγνεται φανερὰ τὰ δυςχερῆ πάντα τοῖς ἅπασιν.

15 Εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν Φίλιππον ὁρῶν εὐτυχοῦντα φοβερὸν εἶναι νομίζει καὶ δυςπολέμητον, σώφρονος μὲν ἀνδρὸς χρῆται προνοίᾳ· μεγάλη γὰρ ῥοπή,

μὲν ἐπισκοτεῖ u. s. w. dazu verwendet. — εὐπραξίαι] „das Glück". Mit dem besonders bei Isocrates (s. Bremi zu Is. 4 exc. VII) häufigen Plural eines abstrakten Substantivs bezeichnet der Grieche die concreten Erscheinungen dieses Begriffs. Kr. Gr. 44. 3. 1—5. Beispiele s. Index unter Pluralia. — καὶ συσκιάσαι] setzt uns. Vf. zu, entsprechend dem διακαλυφθήσεται, wofür D. 2. 20 ἐξετασθήσεται hat.

§ 14 συμβαίνει γὰρ u. s. w.] Hiermit wird der Gedanke bei D. 2. 20 δοκεῖ . δείξειν . βούλησθε ersetzt, wo u. Vf. vielleicht an δείξειν anstiess. Er verwandelt dann das folgende ἀρρώστημά τι συμβῇ bei D. in ἀρρωστήσῃ. — ὅταν μὲν] statt τέως μὲν bei D. 2. 21, wahrscheinlich dem folgenden ἐπὰν δέ zu Liebe. — τῶν καθ᾽ ἕκαστα σαθρῶν] ist ein verdeutlichender Zusatz; der V. verwandelt dann das demosth. σαθρὸν ᾖ am Schluss derselben Periode in ᾖ μὴ τελέως ὑγιεινόν. — τῶν βασιλειῶν καὶ ἁπασῶν τῶν δυναστειῶν] diese Umänderung des demosth. τῶν πόλεων καὶ τῶν τυράννων verräth den Vf. als Zeitgenossen der Diodochenherrschaft, s. zu 10. 4 u. 53. — κατορθῶσιν . . πταίσωσιν] Dieser Ggns. ist auf den ersten Blick dem Zusammenhang angemessener als der demosth. ἔξω πολεμῶσιν . . ὅμορος πόλεμος συμπλακῇ; vielleicht auch ist diese letzte Phrase und das darauf folgende ἐποίησε unserem V. anstössig gewesen.

§ 15 ὁρῶν ε. φ. εἶναι νομίζει καὶ δυςπολέμητον] D. 2. 22 εὐτυχοῦντα ὁρῶν ταύτῃ φοβερὸν προςπολεμῆσαι νομίζει. Was D. durch ταύτῃ bezweckt glaubt wohl u. Vf. durch die Zusammenstellung εὐτυχοῦντα φοβερὸν zu erreichen; derselbe ersetzt dann den ihm vielleicht befremdlichen Infinitiv προςπολεμῆσαι durch καὶ δυςπολέμητον aus D. 4. 4. — ἀνδρὸς χρῆται προνοίᾳ] ἀνθρώπου λογισμῷ χρῆται D. 2. 22. Merkwürdigerweise liest Dionys. 6. 1089, wo er den ganzen § sonst

μᾶλλον δὲ τὸ ὅλον ἡ τύχη ἐστὶ πρὸς ἅπαντα τὰ τῶν ἀνθρώ-
πων πράγματα· κατὰ πολλοὺς μέντοι τρόπους ἕλοιτ' ἄν τις
16 οὐχ ἧττον τὴν ἡμετέραν εὐτυχίαν ἢ τὴν ἐκείνου. παρά τε γὰρ
τῶν προγόνων ἐκ πλείονος χρόνου παρειλήφαμεν τὴν
εὐδαιμονίαν οὐ τούτου μόνον, ἀλλὰ συνελόντι φράσαι
πάντων τῶν ἐν Μακεδονίᾳ βασιλευσάντων· κἀκεῖνοι μὲν
Ἀθηναίοις φόρους ἤνεγκαν, ἡ δ' ἡμετέρα πόλις οὐδενί πω
τῶν ἁπάντων. ἔτι δὲ τοσούτῳ πλείους ἀφορμὰς αὐτοῦ πρὸς

wörtlich unverändert aus der olynth. R. entlehnt, *ἀνθρώπου προνοίᾳ χρῆται.* — *ῥοπῇ*] s. Index. — *κατὰ π. τρόπους*] Index in *τρόποι.* — *τὴν ἡμετέραν εὐτυχίαν*] Wieder führt uns. Vf. diesen Gedanken und den von dem Wohlwollen der Götter für Athen mit Vorliebe aus, während er Dem. Forderung 2. 22 *ἐθελόντων ἃ προςήκει ποιεῖν ὑμῶν αὐτῶν* hier und in § 14 (bei D. 1. 22) fallen lässt. Diese Schulredner mögen nicht wehe thun. Vgl. zu § 17 u. 20.

§ 16 *τούτου*] hängt, wie auch *πάντων*, von *πλείονος* ab. — *συνελόντι φράσαι*] *συνελόντι* „für einen Zusammenfassenden", Kr. Gr. 48. 5. 2, Thuc. 1. 70. 5 *εἴ τις ξυνελὼν φαίη .. ὀρθῶς ἂν εἴποι*, 2. 41. 1, 6. 80. 3 *ξυνελόντες τε λέγομεν*, 5. 105. 3; vgl. Herod. 3. 82 *ἑνὶ ἔπεϊ πάντα συλλαβόντα εἰπεῖν*, (D) 12. 10. Ueber diesen absoluten Infinitiv mit und ohne *ὡς* s. Kr. Gr. 55. 1. 2. Man fasst der Kürze wegen häufig den Inhalt in Ein Wort zusammen (Isocr. 15. 257 *εἰ δὲ δεῖ συλλήβδην . εἰπεῖν*) durch *ὡς ἔπος εἰπεῖν ξυλλήβδην* Plato Prot. 325 c; die natürlich in diesem Ausdruck liegende Unbestimmtheit betont Plato Ges. 2. p. 656 e *οὐχ ὡς ἔπος εἰπεῖν .. ἀλλ' ὄντως*, Staat 1. p. 341 b *ποτέρως λέγεις τὸν κρείττονα, τὸν ὡς ἔ. ε., ἢ τὸν ἀκριβεῖ λόγῳ*, s. zu 10. 34. Nach *πᾶς* erscheint *ὡς ἔπ. ε.*, oder die verwandte Phrase *ὡς ἁπλῶς εἰπεῖν*, (Isocr. 4. 154 *ὡς δ' ἁ. ε. καὶ μὴ καθ' ἓν ἕκαστον ἀλλ' ὡς ἐπὶ τὸ πολύ*;) oder bloss *ὡς εἰπεῖν* (vgl. D. 6. 37 *ὡς ὑπομνῆσαι*) z. B. D. 18. 4, 9. 47, 11. 2, 20. 124; vor *πᾶς* 19. 112, 15. 1, 19. 190 (*σχεδὸν ὡς ε. αἱ ἀρχαὶ πᾶσαι*), 38. 6; nach *οὐδέν* z. B. 6. 1, vor *οὐδενί* Plato *συμπ.* 215 d; aber auch andere auffällige Begriffe werden so gemildert, wie *χερσαῖοι* Thuc. 7. 67. 2, *ἰδιώταις χειροτέχναις* 6. 72. 3, und ganze Gedanken, wie Plato Phaedr. 258 e, *συμπ.* 192 c, D. 19. 264. Bei diesen und den verwandten Phrasen, z. B. *τό τε ξύμπαν εἰπεῖν* Thuc. 7. 49. 4, *ὡς συντόμως ε.* Isocr. 7. 26, *σὺν θεῷ ε.* Pl. Prot. 317 b, *ὡς εἰπεῖν ἐν κεφαλαίῳ* D. 32. 13, vgl. zu 10. 7 (und *ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι* Aesch. 1. 177, *ὡς ἐν τύπῳ εἰρ.* Plato Staat 3. 414 a, *ὥς γε τἀληθὲς εἰρ.* Prot. 339 a, Ion 535 d, *ὡς σὺν θεοῖς εἰρ.* D. Brief 1. 3, Lob. zu Soph. Aj. 779, vgl. zu 10. 15) steht in der Regel *εἰπεῖν*, bei Späteren vereinzelt *φάναι*, nirgends aber wie hier, *φράσαι*. So auch *συνελόντι δ' εἰπεῖν* Hyperid. *ἐπιτ.* lin. 113 Cob., vgl. Xen. *ἀπομ.* 3. 8. 10, 4. 3. 7, An. 3. 1. 38; aber D. 4. 7 *συνελόντι δ' ἁπλῶς* ohne *εἰπεῖν*, wie Isaeus 4. 22 bloss *συνελόντι πολὺ τὸ διαφέρον κατὰ γένος ἢ κατὰ δόσιν ἀμφισβητεῖν*, und Anaxilas com. bei Ath. 13. 558 *συντεμόντι δ' οὐδὲ ἓν | ἔσθ' ἑταίρας ὅσαπερ ἔστι θηρί' ἐξωλέστερον.* — *κἀκεῖνοι μὲν* u. s. w.] vgl. D. 3. 24.

τὴν τῶν θεῶν εὔνοιαν ἔχομεν, ὅσῳ διατελοῦμεν εὐσεβέστερα
17 *καὶ δικαιότερα πράττοντες. τί ποτ᾽ οὖν ἐκεῖνος ἐν τῷ προτέρῳ πολέμῳ πλείω κατώρθωσεν ἡμῶν; ὅτι, ὦ ἄνδρες Ἀθηναῖοι, (παρρησιάσομαι γὰρ πρὸς ὑμᾶς) ὁ μὲν αὐτὸς στρατεύεται καὶ ταλαιπωρεῖ καὶ τοῖς κινδύνοις πάρεστιν, οὔτε καιρὸν παριεὶς οὔτε ὥραν ἔτους παραλείπων οὐδεμίαν, ἡμεῖς δὲ (εἰρήσεται γὰρ τἀληθῆ) οὐδὲν ποιοῦντες ἐνθάδε καθήμεθα, μέλλοντες ἀεὶ καὶ ψηφιζόμενοι καὶ πυνθανόμενοι κατὰ τὴν ἀγορὰν εἴ τι λέγεται νεώτερον. καίτοι τί γένοιτ᾽* 157
ἂν νεώτερον ἢ Μακεδὼν ἀνὴρ καταφρονῶν Ἀθηναίων καὶ τολμῶν ἐπιστολὰς πέμπειν τοιαύτας οἵας ἠκούσατε μικρῷ
18 *πρότερον; καὶ τῷ μὲν ὑπάρχουσιν μισθοφόροι στρατιῶται, καὶ νὴ Δία πρὸς τούτοις τῶν παρ᾽ ἡμῶν ῥητόρων τινές, οἳ τὰς παρ᾽ ἐκείνου δωρεὰς οἴκαδε λαμβάνειν νομίζοντες οὐκ αἰσχύνονται Φιλίππῳ ζῶντες, οὐδ᾽ αἰσθάνονται πάντα καὶ τὰ τῆς πόλεως καὶ τὰ σφῶν αὐτῶν μικροῦ λήμματος πωλοῦντες. ἡμεῖς δὲ οὔτε τῶν ἐκείνου πραγμάτων οὐδὲν*

§ 17 *τί ποτ᾽ . . κατώρθωσεν ἡμῶν;*] Ein Einwurf, von welchem das zu § 13 Gesagte gilt. Die Antwort ist nach D. 2. 23 gebildet, aber durch Stücke aus anderen Reden ungehörig erweitert und durch die wiederholte Prodiorthosis *παρρησιάσομαι* u. s. w., *εἰρήσεται* u. s. w., geschwächt (s. zu § 15 z. E.). Der Einwurf ist, wie in § 13, durch e. Frage eingeleitet (wie in D. 1. 14 u. 19 u. ö.). Sonst kommt die Frage in dieser Rede gar nicht, in den selbständigen Stücken der 10. Rede aber ganz vereinzelt vor; so wenig haben diese Schulredner die Lebendigkeit des demosthenischen Ausdrucks (s. zu 4. 2) zu erfassen vermocht. Vgl. z. B. D. 2. 3, 3. 30, 4. 3 u. 20 u. 25 u. 33 u. 34 u. 47, 5. 17, 6. 7 u. 20 u. 22 u. 24 u. 31. — *πυνθανόμενοι*] Die Erweiterung *κατὰ τὴν ἀγορὰν . . νεώτερον* u. s. w. stammt aus D. 4. 10, wo aber die Form des Ausdrucks e. ungleich lebendigere ist. Einfältigerweise setzt u. Vf. *καταφρονῶν* für das demosth. *καταπολεμῶν* ein (vielleicht, um den Gleichklang mit dem folgenden *τολμῶν* zu vermeiden), obwohl doch nach seiner Annahme (s. § 1 u. 20) eben der Krieg von Philipp erklärt ist. — *ἐπιστολάς*] nach D. 4. 37, vgl. 8. 16.

§ 18 *οἱ τὰς παρ᾽ ἐκείνου δωρεὰς . . πωλοῦντες*] Nach 7. 17 gearbeitet, woraus zu schliessen ist, dass der Vf. bereits eine Sammlung von D. Reden, in welche die von Hegesippos aufgenommen war, vor sich hatte. Das dort stehende *τὰ οἴκοι πωλ.* umschreibt er durch *καὶ τὰ τῆς πόλεως καὶ τὰ σφῶν αὐτῶν π.* — *μικροῦ λήμματος πωλοῦντες*] D. 9. 9 u. 48, 12. 3, 21. 150. Andere auffallende Beispiele dieses Genitivs (s. Kr. Gr. 47. 17. 3) s. D. 3. 22, 8. 70, 6. 10, 19. 223 *οὐκ ἀνταλλακτέον τὴν φιλοτιμίαν οὐδενὸς κέρδους.* — *στασιάζειν*]

στασιάζειν παρασκευάζομεν, οὔτε ξενοτροφεῖν ἐθέλομεν,
19 οὔτε [αὐτοὶ] στρατεύεσθαι τολμῶμεν. οὔκουν ἐστὶν οὐδὲν
δεινὸν, εἴ τι πεπλεονέκτηκεν ἡμῶν κατὰ τὸν πρότερον πό-
λεμον, ἀλλὰ μᾶλλον εἰ μηδὲν ποιοῦντες ἡμεῖς ὧν προςήκει
τοὺς πολεμοῦντας, νομίζομεν κρατήσειν τοῦ πάντα πράτ-
τοντος ἃ δεῖ τοὺς πλεονεκτήσειν μέλλοντας.
20 Ὧν, ὦ ἄνδρες Ἀθηναῖοι, χρὴ λαβόντας ἔννοιαν, καὶ
λογισαμένους ὡς οὐδ' ἐφ' ἡμῖν ἐστι τὸ φάσκειν ἄγειν εἰρήνην
(ἤδη γὰρ ἐκεῖνος καὶ προηγόρευσε τὸν πόλεμον καὶ τοῖς
ἔργοις ἐξενήνοχε) μηδενὸς μὲν φείδεσθαι μήτε τῶν
δημοσίων μήτε τῶν ἰδίων, στρατεύεσθαι δὲ, ἄν που
καιρὸς ᾖ, προθύμως ἅπαντας, χρῆσθαι δὲ στρατηγοῖς
21 ἀμείνοσιν ἢ πρότερον. μὴ γὰρ ὑπολάβῃ τις ὑμῶν, δι' ὧν
ἐγένετο τὰ πράγματα χείρω τὰ τῆς πόλεως, διὰ τούτων
αὐτὰ πάλιν ἀναλήψεσθαι καὶ γενήσεσθαι βελτίω· μηδὲ
νομίσητε ῥᾳθυμούντων ὑμῶν, ὥςπερ πρότερον, ἑτέρους

in transitivem Sinne ist bei den Classikern ungebräuchlich; Isocr. 12. 226 *στασιάζειν . ἐποίουν.*

§ 19 *οὐκοῦν ἐστὶν ο. δεινὸν, εἰ .. ἀλλὰ μᾶλλον εἰ*] schwächlicher Ersatz für das bei D. 2. 23 mächtig wirkende *οὐ δὴ θαυμαστόν .. θαυμάζω* u. s. w. — *ὧν προςήκει*] näml. *ποιεῖν*. — *ἃ δεῖ*] näml. *πράττειν*.

§ 20 *ὧν*] hängt von *ἔννοιαν* ab. D. würde das Demonstrativum gebraucht haben. — *λαβόντας*] Die sehr nahe liegende Ergänzung *ἡμᾶς* ist kaum nöthig. — *οὐδ' ἐφ' ἡμῖν ε. τὸ φάσκειν*] „wir können nicht einmal vorgeben"; zu *φάσκειν* s. 9. 8. — *προηγόρευσε τὸν πόλεμον*] Index in *πόλ.* — *μηδενὸς*] Neutrum. — *ἄν που καιρὸς ᾖ*] Aher ist denn jetzt, wo Philipp den Krieg erklärt und thatsächlich begonnen hat (s. zu Liban. *ὑπόθ.*) noch nicht der rechte Augenblick gekommen?! — *στρατηγοῖς ἀμείνοσιν*] U. V. schiebt wieder auf die Feldherren, was D. 2. 27 z. E. den Athenern vorwirft; vgl. oben zu § 15 z. E. Ebenso ersetzt er § 21 z. A. durch *μὴ γὰρ ὑπολάβῃ τις ὑμῶν* das vorwurfsvolle *εἶθ' οὕτως ἀγνωμόνως ἔχετε* bei D.

§ 21 *πάλιν ἀναλήψ.*] zu 10. 59. — *ῥ ᾳ θ υ μ ο ύ ν τ ω ν*] steht in chiastischem Ggns. zu *π ρ ο θ ύ μ ω ς*. Soll man aber auch das Zusammentreffen von *ὥς|περ προ|τερ|ον ἑ|τέρ|ους ὑ|πὲρ τῶν ὑμε|τέρ|ων ἀγων. προθύμως* ein beabsichtigtes nennen? Schwerlich, und ebensowenig kakophonisch (vgl. Lob. zu Soph. Aj. v. 61 u. 726), wenn man nicht dasselbe von Stellen sagen will wie (Eur. Bacch. 893 *ἑτέρᾳ δ' ἕτερος ἕτερον ὄλβῳ παρῆλθεν*) D. 43. 61 *εἴ τις ἕτερος ἑτέρου πρότερος ἢ ὕστερος τετελεύτηκεν*, 21. 194 *ὡς ἴσασιν ὅσοι παρῆσαν*, (s. Schol. zu Eur. Med. 426) 23. 49 *ἄξει τὸν ἄκοντα ἀπεκτονότα ἔκδοτον λαβών*, 3. 36 *καὶ καλῶν κινδύνων κτησάμενοι κατέλιπον*, 5. 5 *ἔγνωτε τήν τε τῶν τότε ταῦτα πεισάντων κακίαν*, 9. 43 *τῶν τότε ταῦτα ποιούντων*, 20.

ὑπὲρ τῶν ὑμετέρων ἀγωνιεῖσθαι προθύμως· ἀλλ' ἐννοεῖσθε ὡς αἰσχρόν ἐστι τοὺς μὲν πατέρας ἡμῶν πολλοὺς πόνους 158

117 *τῷ τι τοῦτο*, 3. 2 *τοῦ τίνα τιμωρήσεταί τις*, 8. 20 *εἶτα ἔτι ζητεῖτε πόθεν τὰ τῆς πόλεως*, (Soph. O. C. 1547 *τῇδ' ὧδε τῇδε βᾶτε, τῇδε γὰρ*) 36. 32 *μεμαρτύρηται τῷ τὸ τέταρτον μέρος λαβεῖν*: Alliterationen, wie sie unwillkührlich durch das beliebte Zusammentreten der Artikel veranlasst werden: 1. 4 *τὸ τὰ τοῦ*, 3. 11 *τὴν τοῦ τὰ*, 60. 20 *τοῦ τῆς τῶν τετελευτηκότων ἀγασθέντα ἀρετῆς*, 18. 317 *ἡ δὲ σὴ ταῖς τῶν τοὺς τοιούτους τότε συκοφαντούντων*, oder verbunden mit Assonanzen durch das Zusammentreten gleicher Endungen: 2. 20 *ουτως ὅπως*, 23. 90 *ἕξει δεῖξαι* (Soph. Phil. 107 *ἐγὼ λέγω*, Hyperid. f. Lyc. c. 10 *ἔχω ἐγὼ*), besonders Deklinations-Endungen: 5. 15 *κοινῆς τῆς ἀρχῆς καὶ τῆς οὐσίας οὔσης* (S. Aj. 493 *εὐνῆς τε τῆς σῆς* u. s. w., O. T. 1481 *ὡς τὰς ἀδελφὰς τάςδε τὰς ἐμὰς χέρας*), 5. 6 *εἰς ὑμᾶς οὐδεμιᾶς ἰδίας οὔτ' ἔχθρας οὔτε συκοφαντίας ἕνεκεν*, 8. 22 *τοῖς λόγοις τοὺς τῆς πόλεως λέγοντας .. τοῖς ἔργοις τοὺς ἐναντιουμένοις τούτοις* (S. O. C. 1342 *ὥςτ' ἐν δόμοισι τοῖσι σοῖς στήσω σ' ἄγων*), 34. 19 *εἰς τὰ ὑμέτερα πρόςωπα ἐμβλέποντα τὰ ψευδῆ μαρτυρεῖν*, und Conjugations-Endungen (kakophonische Verbformen s. Lobeck paralip. p. 23): 4. 15 *λέγειν ἔχειν* (Isoc. 6. 94 *ἐπιτάττειν ἐθέλειν ἀποθνήσκειν*, 5. 45 *συμφέροντος πείθοντος*, s. O. Schneider zu 7. 61, 2. 51 *φαίνεσθαι βούλεσθαι*), 19. 115 *κρίνεσθαι βούλεσθαι*, 14. 11 *ἀμύνασθαι δύνασθαι*, 54. 8 *φθέγξασθαι δύνασθαι*, 26. 4 *εἶναι περιμεῖναι*; endlich Assonanzen: 23. 148 *ὦ ἄ. Ἀθηναῖοι αἱ ἀναγκαῖαι χρεῖαι* (S. O. C. 642 *ὦ Ζεῦ διδοίης τοῖσι τοιούτοισιν εὖ*), 40. 26 *εἴπερ ἡ μὲν ἐμὴ μήτηρ μὴ ἦν ἐγγυητὴ μηδ' ἠνέγκατο προῖκα*. Stellt doch Dem. in dem kurzen, aber sehr ausgearbeiteten prooemium der 1. olynth. Rede zusammen: *γένοιτο τὸ, σκοπεῖτε ὅτε, ἐθέλειν ἀκούειν, ἐπελθεῖν εἰπεῖν, εἴπερ ὑπὲρ*, hier indessen wahrscheinlich mit Absicht, s. zu 1. 1; vgl. 8. 38 z. E. Denn so gewiss Zufall und Nothwendigkeit vielfach Allitterationen und Assonanzen herbeigeführt haben, ebenso gewiss liegt in der Natur der Sprache überhaupt und besonders der alten Sprachen und Völker die Neigung durch Buchstaben zu malen tief begründet, ist auch bei ihren Dichtern überaus häufig (z. B. Soph. O. T. 320, 371, 425, 746, 1408, 1507, Aj. 148, 258 u. ö.) in's Leben getreten, und von den Technikern, wie Dionysios *π. συνθέσ. ὀνομ.* c. 14, Hermogenes 3. 224 so ernst behandelt (vgl. zu 2. 22), dass Demosthenes, der niemals mit leeren Formen spielt, absichtlichen und bewussten Gebrauch von der Buchstabenmalerei gemacht haben muss. Und selbst ein weniger künstlerisch angelegter Geist würde, nachdem er ebenso oft, wie D, dasselbe Factum, z. B. die grausame Zerstörung Olynths, nicht bloss in möglichst ergreifender Form von der Rednerbühne gehört, sondern selber ausgesprochen hätte (*ὁ Δημοσθένης πολλάκις ἑαυτὸν παραφράζει .. καὶ ἐν ἑνὶ λόγῳ πολλάκις φαίνεται ταὐτὰ μυριάκις εἰρηκώς, τῇ δὲ τῆς ἑρμηνείας ποικιλίᾳ λανθάνει τοὺς ἀκούοντας ... ἐν δὲ τοῖς Φιλιππικοῖς τὰ αὐτὰ πράγματα ἄνω καὶ κάτω λέγων διατετέλεκεν* Theon prog. 1. 155 u. s. w., vgl. zu D. 8. 20), fast unwillkührlich die künstlerische Form bis in die einzelnen Buchstaben hin vervollkommnet haben. Man vergesse nicht, dass in den modernen Staatsreden der tiefere, umfassendere und schwierigere I n h a l t eine grosse

καὶ μεγάλους κινδύνους ὑποστῆναι Λακεδαιμονίοις πο-
22 λεμοῦντας, ἡμᾶς δὲ μηδ' ὑπὲρ ὧν ἐκεῖνοι δικαίως κτησάμε-
νοι παρέδοσαν ἡμῖν ἐθέλειν ἐρρωμένως ἀμύνεσθαι, ἀλλὰ
τὸν μὲν ἐκ Μακεδονίας ὁρμώμενον οὕτως εἶναι φιλοκίνδυ-
νον ὥςθ' ὑπὲρ τοῦ μείζω ποιῆσαι τὴν ἀρχὴν κατατετρῶ-
σθαι πᾶν τὸ σῶμα τοῖς πολεμίοις μαχόμενον, Ἀθηναίους δὲ,
οἷς πάτριόν ἐστι μηδενὸς ἀκούειν, ἁπάντων δὲ κρατεῖν ἐν
τοῖς πολέμοις, ταύτους διὰ ῥαθυμίαν ἢ μαλακίαν ἐγκαταλεί-
πειν τά τε τῶν προγόνων ἔργα καὶ τὰ συμφέροντα τῆς πα-
τρίδος.
23 Ἵνα δὲ μὴ μακρολογῶ, φημὶ χρῆναι [πάντας ἡμᾶς]
παρασκευάσασθαι μὲν πρὸς τὸν πόλεμον, παρακαλεῖν δὲ
τοὺς Ἕλληνας, μὴ λόγοις, ἀλλὰ τοῖς ἔργοις, πρὸς τὴν παρ'
ἡμῶν συμμαχίαν· ὡς ἅπας μέν ἐστιν λόγος μάταιος πράξεων
ἄμοιρος γενόμενος. τοσούτῳ δὲ μάλιστα ὁ παρὰ τῆς ἡμετέ-

Kraft fordert, welche die griechischen Redner der Form zuwenden durften. Bei Dem. ist, wie bei Sophocles, besonders der Sarkasmus und die Bitterkeit in Buchstabenmalerei ausgeprägt: vgl. zu 9. 26 u. 62 über ς, zu 9. 28 u. 6. 21 über ρ; absichtlich scheint auch 5. 18 die Wiederkehr von εχθ und σχη; dagegen die Wehmuth der weichen Buchstaben zu 9. 36. Vgl. ferner zu 8. 13 z. E., zu 3. 5, 4. 8 u. 36 u. 50, 9. 20; auch 5. 4 ὁρῶν ὅμως ἀποκνῶ scheint malerisch. Vgl. endlich über das Wortspiel zu 12. 17.

§ 22 Freie Bearbeitung nach D. 2. 24. — τὸν ἐκ Μακεδονίας] nach D. 18. 67 ἑώρων τὸν Φίλιππον ὑπὲρ ἀρχῆς καὶ δυναστείας τὸν ὀφθαλμὸν ἐκκεκομμένον .. ὥςτε τῷ λοιπῷ μετὰ τιμῆς καὶ δόξης ζῆν; .. τῷ ἐν Πέλλῃ τραφέντι. Vgl. 7. 7, Aesch. 3. 160, Juvenal 10. 168 Unus Pellaeo juveni non sufficit orbis; vgl. zu 9. 31 ὀλέθρου Μακεδόνος. — ὁρμώμενον] oriundum.

§ 23 φημὶ χρ. παρασκ.] Wenn der Krieg wirklich erklärt war, würde kein Redner, am allerwenigsten D., e. so allgemeinen und matten Vorschlag gemacht haben. Matt ist die ganze Rede. — ὡς ἅπας u. s. w.] nach D. 2. 12, dessen schwierigen Schluss ὅσῳ γὰρ ἑτοιμότατ' αὐτῷ δοκοῦμεν χρῆσθαι, τοσούτῳ μᾶλλον ἀπιστοῦσι πάντες αὐτῷ uns. Vf. geschickt umgangen hat. Bedenklich bleibt jene Verbindung bei D., denn die nur zum Theil analogen Fälle, welche man anführt: (D) 50. 15 ὅσῳ γὰρ φιλοτιμούμενος ἄμεινον ἐπληρωσάμην τὴν ναῦν ἑρετῶν ἀγαθῶν, τοσούτῳ μοι πλείστη ἀπόλειψις ἐγένετο τῶν ἄλλων τριηράρχων, und Cic. Lael. 5. § 19 ita natos esse nos ut inter omnes esset societas quaedam, major autem ut quisque proxime accederet, stehen selber vereinzelt da; s. Fischer zu Weller 2. p. 140 u. 145, Matthiae Gr. § 462 (Krueger zu Thuc. 1. 68. 2, O. Schneider zu Isocr. 1. 4), Bernhardy Synt. S. 435 u. d. f. Zu προχειρότατα τῶν ἄλλων vgl. 8. 72 τῶν ἄλλων ὕστατοι, Hom. Il. 10. 482, Nitzsch zu Plato Ion p. 79, Hermann zu Viger. p. 718.

ρας πόλεως, ὅσῳ δοκοῦμεν αὐτῷ προχειρότατα χρῆσθαι τῶν ἄλλων Ἑλλήνων.

XII.

ΕΠΙΣΤΟΛΗ ΦΙΛΙΠΠΟΥ.

Φίλιππος Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. Ἐπειδὴ πολλάκις μου πρέσβεις ἀποστείλαντος, ἵν' ἐμμείνωμεν τοῖς ὅρκοις καὶ ταῖς ὁμολογίαις, οὐδεμίαν ἐποεῖσθ' ἐπιστροφήν, ᾤμην δεῖν πέμψαι πρὸς ὑμᾶς ὑπὲρ ὧν ἀδικεῖσθαι νομίζω. μὴ θαυμάσητε δὲ τὸ μῆκος τῆς ἐπιστολῆς· πολλῶν γὰρ ὑπαρχόντων ἐγκλημάτων ἀναγκαῖόν ἐστιν ὑπὲρ ἁπάντων δηλῶσαι καθαρῶς. 159

2 *Πρῶτον μὲν γὰρ Νικίου τοῦ κήρυκος ἁρπασθέντος ἐκ
τῆς χώρας τῆς ἐμῆς οὐ τοῖς παρανομοῦσιν ἐπετιμήσατε, ἀλλὰ
τὸν ἀδικούμενον εἵρξατε δέκα μῆνας· ἃς δ' ἔφερε παρ'
ἡμῶν ἐπιστολάς, ἀνέγνωτε ἐπὶ τοῦ βήματος. ἔπειτα Θασίων
ὑποδεχομένων τὰς Βυζαντίων τριήρεις καὶ τῶν λῃστῶν τοὺς
βουλομένους οὐδὲν ἐφροντίζετε, τῶν συνθηκῶν διαρρήδην
3 λεγουσῶν πολεμίους εἶναι τοὺς ταῦτα ποιοῦντας. ἔτι τοίνυν περὶ τοὺς αὐτοὺς χρόνους Διοπείθης ἐμβαλὼν εἰς τὴν*

Ueber die Zeit und Veranlassung dieses Briefes s. E. § 81; über seine Echtheit E. § 91.

§ 1 *Φίλιππος .. χαίρειν*] näml. *λέγει* (s. zu 5. 22, Kr. Gr. 62. 3. 12), die gewöhnliche Eingangsformel von Briefen. Vgl. Plancus Imp. S. D. Sen. Pop. Pl. Q. R. Cicero ep. ad div. 10. 8. — *ἐποιεῖσθ' ἐπ.*] s. Index in *ποιεῖσθαι.*

§ 2 *ἀνέγνωτε ἐπὶ τοῦ βήματος*] Dagegen erzählt Plutarch. *πολιτ. παραγγ.* p. 799e *Οἶμαι δ' ἂν ἔγωγε μηδὲ Θηβαίους ἀποσχέσθαι γραμμάτων πολεμίων κυρίους γενομένους, ὡς Ἀθηναῖοι Φιλίππου γραμματοφόρους λαβόντες ἐπιστολὴν ἐπιγεγραμμένην Ὀλυμπιάδι κομίζοντες οὐκ ἔλυσαν οὐδ' ἀπεκάλυψαν ἀπόρρητον ἀνδρὸς ἀποδήμου πρὸς γυναῖκα φιλοφροσύνην.* — *Θασίων*] E. § 80.

§ 3 *Διοπείθης*] E. § 78. — *εἰς*

χώραν Κρωβύλην μὲν καὶ τὴν Τιρίστασιν ἐξηνδραποδίσατο,
τὴν δὲ προςεχῆ Θράκην ἐπόρθησε, τέλος δὲ εἰς τοῦτο ἦλθε
παρανομίας ὥςτε Ἀμφίλοχον ὑπὲρ τῶν αἰχμαλώτων ἐλθόντα
πρεσβευτὴν συλλαβὼν καὶ τὰς ἐσχάτας ἀνάγκας ἐπιθεὶς
ἀπελύτρωσε ταλάντων ἐννέα· καὶ ταῦτα τῷ δήμῳ εὖ δοκοῦν-
4 *τα ἐποίησεν. καίτοι τὸ παρανομεῖν εἰς κήρυκα καὶ πρέσβεις*
τοῖς ἄλλοις τε πᾶσιν ἀσεβὲς εἶναι δοκεῖ καὶ μάλιστα ὑμῖν·
Μεγαρέων γοῦν Ἀνθεμόκριτον ἀνελόντων εἰς τοῦτο ἐλήλυ-
θεν ὁ δῆμος ὥςτε μυστηρίων μὲν εἴργειν αὐτοὺς, ὑπομνή-

τοῦτο ἦλθε παρανομίας] „soweit ging er in“ D. 4. 37 *εἰς τοῦθ᾽ ὕβρεως ἐλήλυθεν*, 22. 16 *ε. τ. ἐλήλυθε τοῦ νομίζειν*. Unser Vf. gebraucht nicht weniger als sechsmal diese Wendung, jedesmal aber mit einiger Aenderung, worin ich eine absichtliche Stilfreiheit erkenne: § 6 *εἰς τ. παρανομίας ἀφῖχθε καὶ δυςμενείας* (D. 9. 54, Isocr. 17. 14 *τόλμης ἀφίκεθ᾽*), § 20 *εἰς τ. τόλμης ἥκουσι* (D. 4. 47, 36. 46 u. 48, 45. 73), § 16 *εἰς τ. προβεβήκαμεν ἔχθρας* (D. 47. 28 *εἰς τοσοῦτο δικῶν καὶ πραγμάτων προβέβηκεν*, 51. 19 *ἀναισθησίας προήκουσιν*, 22. 78 *εἰς τοῦτ᾽ ὦ ἄ. Ἀ. προήχθητ᾽ εὐηθείας καὶ ῥαθυμίας*, Isocr. 20. 8, D. 24. 182 *ἀναισθησίας καὶ τόλμης προεληλύθασιν*, 3. 3 *εἰς πᾶν* u. s. w., 21. 131 *ἐφ᾽ ὅσον φρονήματος ἤδη προελήλυθεν*, 22. 74) § 12 *εἰς τοσοῦτον ἐληλύθατε πλεονεξίας* (D. 21. 65 *ἐλήλυθεν ὕβρεως*, 27. 46 *αἰσχροκερδείας ἦλθεν*, 21. 62 *ἀναιδείας ἀφίκετο*, Isocr. 17. 46 *συκοφαντίας*) ohne Genitiv: § 4 *εἰς τοῦτ᾽ ἐλήλυθεν ὁ δῆμος* (D. 6. 1 u. 9. 1, 9. 2, 5. 15; Isocr. 5. 55). Vgl. D. 4. 9 nach *οἷ*, 21. 17 *οὐδ᾽ ἐνταῦθ᾽ ἔστη τῆς ὕβρεως*, 23. 156 *αἰσθόμενος δ᾽ οὗ ἦν κακοῦ*, Soph. Aj. 306 *οὐχ ὁρᾷς ἵν᾽ εἶ κακοῦ;* 102 *ποῦ σοι τύχης ἕστηκεν*, 314 *ἐν τῷ πράγματος κυροῖ ποτε*, Phil. 899; Krueger Gr. 47. 10. 3, Zumpt § 434. Aber ich möchte nicht mit den Auslegern hieher ziehen D. 2. 8 *καιροῦ . . πρὸς τοῦτο πάρεστι Φιλίππῳ τὰ πράγματα*, wo der Genitiv eine weder durch ein anderes Beispiel bestätigte noch durch den Sinn gerechtfertigte Stellung einnimmt. — *εὖ δοκοῦντα*] „Malim *εὐδοκοῦντα* (i. e. *ἀρέσκοντα*), quod est cadentis Graecitatis Polyb. 20. 5. 10 *τοῖς δὲ Θηβαίοις οὐχ ὅλως εὐδόκει τὸ γεγονός*.“ Schaefer. Anders *εὐδοξεῖν* D. 8. 20, *εὐδοκιμεῖν* 9. 2, 7. 20. Aehnlich aber vielleicht Demades fr. 1. 17.

§ 4 *καὶ . . καὶ μάλιστα*] „cum . . tum maxime“. — *γοῦν*] certe, führt das beweisende Beispiel ein. Thuc. 1. 2. 2, Xen. Gastm. 4. 47. — *Ἀνθεμόκριτον*] Pausanias 1. 36. 3 *Ἰοῦσι δ᾽ ἐπ᾽ Ἐλευσῖνα ἐξ Ἀθηνῶν, ἣν Ἀθηναῖοι καλοῦσιν ὁδὸν ἱεράν, Ἀνθεμοκρίτου πεποίηται μνῆμα . ἐς τοῦτον Μεγαρεῦσίν ἐστιν ἀνοσιώτατον ἔργον, οἳ κήρυκα ἐλθόντα, ὡς μὴ τοῦ λοιποῦ τὴν χώραν ἐπεργάζοιντο, κτείνουσιν Ἀνθεμόκριτον*. Die Folge davon war das bekannte *ψήφισμα* gegen die Megareer (Plut. Pericl. c. 30), worüber sich diese beklagten, *δηλοῦντες λιμένων τε εἴργεσθαι τῶν ἐν τῇ Ἀθηναίων χώρᾳ καὶ τῆς Ἀττικῆς ἀγορᾶς* Thuc. 1. 67. 3. Wie aber kommt der Vf. unseres Briefes zu *μυστηρίων*? Etwa weil das Denkmal an der heiligen Strasse nach Eleusis stand? — *ὑπομνήματα . . ἀνδριάντα*] Isaeus 7. 40 *ὧν μνημεῖα*

ματα δὲ τῆς ἀδικίας ἔστησαν ἀνδριάντα πρὸ τῶν πυλῶν. καίτοι πῶς οὐ δεινόν, ἐφ' οἷς παθόντες οὕτως ἐμισήσατε τοὺς δράσαντας, νῦν αὐτοὺς φαίνεσθαι ποιοῦντας; Καλλίας τοίνυν ὁ παρ' ὑμῶν στρατηγὸς τὰς μὲν πόλεις τὰς ἐν τῷ Παγασίτῃ κόλπῳ κατοικουμένας ἔλαβεν ἁπάσας, ὑμῖν μὲν ἐνόρκους, ἐμοὶ δὲ συμμαχίδας οὔσας, τοὺς δ' εἰς Μακεδονίαν πλέοντας ἐπώλει πάντας πολεμίους κρίνων· καὶ διὰ ταῦθ' 160
ὑμεῖς ἐπῃνεῖτ' αὐτὸν ἐν τοῖς ψηφίσμασιν. ὥστε ἔγωγε ἀπορῶ τί ποτ' ἔσται καινότερον, ἐὰν ὁμολογήσητέ μοι πολεμεῖν· καὶ γὰρ ὅτε φανερῶς διεφερόμεθα, λῃστὰς ἐξεπέμπετε, καὶ τοὺς πλέοντας ὡς ἡμᾶς ἐπωλεῖτε, τοῖς ἐναντίοις ἐβοηθεῖτε, τὴν χώραν μου κακῶς ἐποιεῖτε.

τῆς ἐκείνου φιλοτιμίας ὁ τρίπους ἐκεῖνος ἕστηκε, Thuc. 6. 5 *λύτρα ἀνδρῶν Συρακοσίων αἰχμαλώτων λαβὼν τὴν γῆν τὴν Καμαριναίων*, Ov. Met. 2. 695 nitidam cape praemia vaccam; vgl. Bernh. Synt. p. 65.
§ 5 *Καλλίας*] E. § 80. — *τοίνυν*] „nun“, s. Index. — *ὁ παρ' ὑμῶν στρατηγός*] nicht *π. ὑμῖν*, denn der Feldherr hatte die Handlung nicht in Athen vollbracht (vgl. *οἱ παρ' ὑμῖν λέγοντες*), sondern nachdem er von der Stadt ausgezogen war, s. § 8, 5. 6, 7. 15, 9. 14, 7. 17, 11. 23 (9. 9), 20. 35. Ueberhaupt lässt der Grieche gern ein bisher bestandenes Verhältniss der Ruhe an der Bewegung des Prädikats bereits Theil nehmen (Attraktion, s. Kr. Gr. 50. 8. 13—19), wenn dieses Verhältniss eben erst durch die Handlung aufgehoben wird; D. 42. 26 *καίτοι πολλὰ τῶν ἔνδοθεν ἐκφορήσας*, 1. 27, 18. 145 *οὔτε γὰρ ἐξήγετο τῶν ἐκ τῆς χώρας γιγνομένων οὐδέν*, 18. 169 *τοὺς ἐκ τῶν σκηνῶν ἐξεῖργον*, 22. 52 *ὅτι τοὺς ἐκ τῆς ἀγορᾶς ἀδίκως ἀπῆγον*, 9. 15 u. 42, Xen. An. 1. 2. 3 *τοὺς ἐκ τῶν πόλεων λαβὼν παρεγένετο εἰς Σάρδεις*, D. 18. 44, Xen. Cyr. 2. 4. 16 *τινας προςλαβὼν τῶν ἐνθένδε εταίρων ἀφικόμην*, Isocr. 16. 17, 4. 174 (u. die Anm. v. Baiter) *ὅπως τὸν ἐνθένδε πόλεμον εἰς τὴν ἤπειρον διοριοῦμεν*, D. 1. 15, Thuc. 1. 62. 3 *ὅπως εἴργωσι τοὺς ἐκεῖθεν ἐπιβοηθεῖν*, 2. 69 *τὸν πλοῦν τῶν ὁλκάδων τῶν ἀπὸ Φασήλιδος καὶ τῆς ἐκεῖθεν ἠπείρου*, (D) 10. 44, Thuc. 2. 84. 3, 8. 107. 2, 6. 71. 2 *πρὶν ἂν ἱππέας γε . ἐκ τῶν αὐτόθεν ξυμμάχων ἀγείρωσιν*, Krueger zu 3. 7. 3, D. 23. 155 *τῷ μὲν ὑπῆρχεν ἐπισιτισμὸς ἐκ τῆς ἄνωθεν Φρυγίας*, 44. 16 *τῷ δὲ προειληφέναι τι τῶν πραγμάτων ἐκ τοῦ ἄνωθεν χρόνου*, 9. 41 (Isocr. Br. 4. 9 *παρὰ τοῖς ἔξωθεν ἀνθρώποις*, PsD. 12. 19; vgl. *ἐν τῷ ἔμπροσθεν χρόνῳ*) prooem. 1440. 5 *τὴν ἴσην ὑπερβολὴν τῆς σπουδῆς . . πάντ' ἄνδρα παρασχέσθαι δεῖ, ὅσηνπερ ἐκ τῶν ἄνωθεν χρόνων ἀμελείας*, 24. 90 *ὃς (νόμος) περὶ τῶν ἐκ τοῦ παρεληλυθότος χρόνου κριθέντων . . προςτάττει*, 26. 22 *τοῖς ἐκ τῶν παρεληλυθότων χρόνων ουσιν ἐπιεικέσιν* (s. Mätzner zu Din. 2. 22), 4. 1, 10. 54; vgl. zu 2. 10 *τὰ κάτωθεν*, 10. 41 *ἄλλοθεν σκοπεῖν*, 10. 52 *πανταχόθεν γίγνονται*. — *ὑ. ἐνόρκους*] Soph. Ph. 72 (811) *ἔνορκος οὐδενί*. — *τί ποτ' ἔσται*] „was es noch weiter geben kann“. — *φανερῶς διεφερόμεθα*] „in offenem Zwist lebten“, Variation des vorangehenden *ὡμο-*

6 *Χωρὶς τοίνυν εἰς τοῦτο παρανομίας ἀφῖχθε καὶ δυς-
μενείας ὥςτε καὶ πρὸς τὸν Πέρσην πρέσβεις ἀπεστάλκατε
πείσοντας αὐτὸν ἐμοὶ πολεμεῖν· ὃ μάλιστα ἄν τις θαυμάσειεν.
πρὸ μὲν γὰρ τοῦ λαβεῖν αὐτὸν Αἴγυπτον καὶ Φοινίκην
ἐψηφίσασθε, ἂν ἐκεῖνός τι νεωτερίζῃ, παρακαλεῖν ὁμοίως
7 ἐμὲ καὶ τοὺς ἄλλους Ἕλληνας ἅπαντας ἐπ' αὐτόν· νῦν δὲ
τοσοῦτον ὑμῖν περίεστι τοῦ πρὸς ἐμὲ μίσους ὥςτε πρὸς
ἐκεῖνον διαλέγεσθαι περὶ τῆς ἐπιμαχίας. καίτοι τὸ παλαιὸν
οἱ πατέρες ὑμῶν, ὡς ἐγὼ πυνθάνομαι, τοῖς Πεισιστρατίδαις
ἐπετίμων ὡς ἐπάγουσι τὸν Πέρσην ἐπὶ τοὺς Ἕλληνας. ὑμεῖς
δ' οὐκ αἰσχύνεσθε ταῦτα ποιοῦντες, ἃ διετελεῖτε τοῖς τυράν-
νοις ἐγκαλοῦντες.*

8 *Ἀλλὰ πρὸς τοῖς ἄλλοις καὶ γράφετε ἐν τοῖς ψηφίσμασιν
ἐμοὶ προςτάττοντες Τήρην καὶ Κερσοβλέπτην ἐᾶν Θρᾴκης
ἄρχειν ὡς ὄντας Ἀθηναίους. ἐγὼ δὲ τούτους οὔτε τῶν περὶ
τῆς εἰρήνης συνθηκῶν οἶδα μετασχόντας ὑμῖν οὔτ' ἐν ταῖς
στήλαις ἀναγεγραμμένους οὔτ' Ἀθηναίους ὄντας, ἀλλὰ Τήρην
μὲν μετ' ἐμοῦ στρατευόμενον ἐφ' ὑμᾶς, Κερσοβλέπτην δὲ
τοῖς παρ' ἐμοῦ πρεσβευταῖς ἰδίᾳ μὲν τοὺς ὅρκους ὀμόσαι
προθυμούμενον, κωλυθέντα δ' ὑπὸ τῶν ὑμετέρων στρατηγῶν
9 ἀποφαινόντων αὐτὸν Ἀθηναίων ἐχθρόν. καίτοι πῶς ἐστὶ
τοῦτ' ἴσον ἢ δίκαιον, ὅταν μὲν ὑμῖν συμφέρῃ, πολέμιον εἶναι
φάσκειν αὐτὸν τῆς πόλεως, ὅταν δ' ἐμὲ συκοφαντεῖν βού- 161
λησθε, πολίτην ἀποδείκνυσθαι τὸν αὐτὸν ὑφ' ὑμῶν· καὶ*

λογοῦμεν πολεμεῖν. — τοὺς . ἐπωλεῖτε, τοῖς . ἐβοηθεῖτε, τὴν ἐποιεῖτε] ein in Isocrateischer Manier, aber knapper und kräftiger gearbeitetes Homoeoteleuton.

§ 6 *χωρὶς*] s. Index. — *τὸν Πέρσην*] E. § 80. — *Αἴγυπτον*] E. § 42.

§ 7 *τὸ παλαιὸν*] zu § 12. — *ὡς ἐγὼ πυνθάνομαι*] *ὡς ἐγὼ κρίνω* 6. 15, 15. 8, 10. 6 u. 49, *ὡς ἐγὼ οἶμαι* Pl. Ap. 30c, *ὡς ἐγώ φημι* 39c; Kr. Gr. 51. 1. 2; und über die Perfekt-Bedeutung von *πυνθάν.* Kr. Gr. 53. 1. 2; ebenso *ἀκούω* D. 9. 12 u. 48 u. ö.

§ 8 *Τήρην καὶ Κερσοβλέπτην*] E. § 77 u. 81. — *ἐγὼ δὲ* u. s. w.] spöttische Zurückweisung der nach Philipp's Darstellung lügenhaften Behauptung, mit besonders signifikanter Endstellung sowohl dieser Behauptung *ὡς οντας Ἀθηναίους* wie ihrer Widerlegung *οὔτ' Ἀθηναίους ὄντας, Ἀθηναίων ἐχθρόν.* — *πρεσβευταῖς*] seltener Plural. — *ἰδίᾳ*] „für sich allein", d. i. nicht in Gemeinschaft mit den Athenern.

§ 9 *καίτοι*] führt die Widerlegung ein, wie § 4 u. 7; vgl. (D) 7. 10 u. 12 u. 16. — *ἀποδείκνυσθαι*] fasst die ed. Felicianea, indem sie *ὑφ'* weglässt, als Medium,

Σιτάλκου μὲν ἀποθανόντος, ᾧ μετέδοτε τῆς πολιτείας, εὐθὺς ποιήσασθαι πρὸς τὸν ἀποκτείναντα φιλίαν, ὑπὲρ δὲ Κερσοβλέπτου πόλεμον αἱρεῖσθαι πρὸς ἡμᾶς; καὶ ταῦτα σαφῶς εἰδότας ὅτι τῶν λαμβανόντων τὰς δωρεὰς τὰς τοιαύτας οὐδεὶς οὔτε τῶν νόμων οὔτε τῶν ψηφισμάτων οὐδὲν
10 *φροντίζει τῶν ὑμετέρων. οὐ μὴν ἀλλ' εἰ δεῖ πάντα τἆλλα παραλιπόντα συντόμως εἰπεῖν, ὑμεῖς ἔδοτε πολιτείαν Εὐαγόρᾳ τῷ Κυπρίῳ καὶ Διονυσίῳ τῷ Συρακοσίῳ καὶ τοῖς ἐκγόνοις τοῖς ἐκείνων. ἐὰν οὖν πείσητε τοὺς ἐκβαλόντας ἑκατέρους αὐτῶν ἀποδοῦναι πάλιν τὰς ἀρχὰς τοῖς ἐκπεσοῦσι, κομίζεσθε καὶ παρ' ἐμοῦ τὴν Θρᾴκην, ὅσην Τήρης καὶ Κερσοβλέπτης εἶχεν. εἰ δὲ τοῖς μὲν ἐκείνων κρατήσασι μηδ' ἐγκαλεῖν ἀξιοῦτε μηδὲν, ἐμὲ δ' ἐνοχλεῖτε, πῶς οὐ δικαίως ὑμᾶς ἀμυνοίμην ἄν;*

11 *Περὶ μὲν οὖν τούτων πολλὰ λέγειν ἔχων ἔτι δίκαια παραλιπεῖν προαιροῦμαι· Καρδιανοῖς δέ φημι βοηθεῖν γεγονὼς αὐτοῖς πρὸ τῆς εἰρήνης σύμμαχος, οὐκ ἐθελόντων δ' ὑμῶν ἐλθεῖν εἰς κρίσιν, πολλάκις μὲν ἐμοῦ δεηθέντος, οὐκ ὀλιγάκις*

wahrscheinlich den umstehenden Infinitiven *φάσκειν ποιήσασθαι αἱρεῖσθαι* zu Liebe. — *πόλεμον αἱρεῖσθαι*] s. Index in *πόλεμος*. Nur an Einer Stelle noch, soviel ich mich erinnere, bei D. 14. 3 findet sich *πόλεμον αἱρεῖσθαι*, und auch hier haben alle Handschriften ausser pr. *Σ ἄρασθαι*. Ich möchte deshalb an unserer Stelle *π. αἱρεῖσθαι* in dem Sinne fassen, wie D. 16. 22 sagt *πολεμεῖν αἱρουμένους*, „sich zum Kriege (freiwillig) entschliessen". — *καὶ ταῦτα*] zu 7. 37. — *εἰδότας ὅτι* u. s. w.] sehr bitter.

§ 10 *οὐ μὴν ἀλλ'*] zu 10. 28; ergänze: obwohl dies, wie Ihr wisst, sich also verhält. — *εἰ δεῖ* (*τινὰ*) *παραλιπόντα*] D. 2. 5 u. 10 u. 23, 3. 32, 4. 5, 8. 64, 9. 67 u. 73; Kr. Gr. 55. 2. 7, 61. 4. 6. — *παρ. συντόμως εἰπεῖν*] zu 11. 16. — *Εὐαγόρᾳ*] s. Isocr. 9. 54. Euagoras hatte sich in seiner Vaterstadt Salamis auf Cypern zum Dynasten emporgeschwungen, war mit dem Athener Conon befreundet, welcher aus der Schlacht bei Aigospotamoi 405 zu ihm flüchtete, und vertheidigte sich später, unterstützt von dem Athener Chabrias, längere Zeit gegen die Feldherrn des Perserkönigs Artaxerxes II. Ihn feiert Isocrates in seiner 9. Rede (s. E. § 36), seinen Sohn Nicocles betreffen desselben 2. u. 3. Rede. — *Διονυσίῳ*] wahrscheinlich dem ersten d. N., mit welchem Athen kurz vor seinem Tode (368) ein Bündniss einging. Bruchstücke des athenischen Ehrendekrets sind noch vorhanden, s. Boeckh C. J. p. 898, Demosthenes von A. Schaefer I. p. 80. — *κομίζεσθε*] s. Ind.; üb. d. Imperativ zu 10. 8. — *ἀξιοῦτε*] s. Index.

§ 11 *Καρδιανοῖς*] „Was die K. anlangt". Ueber die Stellung s. zu 5. 22 z. A. Zur Sache s. E. § 78.

δ' ἐκείνων· ὥςτε πῶς οὐκ ἂν εἴην πάντων φαυλότατος, εἰ καταλιπὼν τοὺς συμμάχους μᾶλλον ὑμῶν φροντίζοιμι τῶν πάντα μοι τρόπον ἐνοχλούντων ἢ τῶν βεβαίως μοι φίλων ἀεὶ μενόντων;

12 Εἰ τοίνυν δεῖ μηδὲ τοῦτο παραλιπεῖν, εἰς τοσοῦτον ἐληλύθατε πλεονεξίας ὥςτε πρότερον μὲν ἐνεκαλεῖτέ μοι τὰ
προειρημένα μόνον, τὰ δ' ὑπογυιότατα Πεπαρηθίων φασκόν- 162
των δεινὰ πεπονθέναι προςετάξατε τῷ στρατηγῷ δίκην παρ' ἐμοῦ λαβεῖν ὑπὲρ ἐκείνων, οὓς ἐγὼ μὲν ἐτιμωρησάμην ἐνδεεστέρως ἢ προςῆκεν, ἐκεῖνοι δὲ εἰρήνης οὔσης κατα-

— ὥςτε] „folglich“, 18. 196 ὥςτε τί. κατηγορεῖς. — ὑ. φροντίζοιμι] s. Index.

